φανερὸν καὶ ἐν ὀφθαλμοῖς. ἀφύλακτα γὰρ διὰ τὸ ὅλως
μηδένα ἂν οἴεσθαι καὶ τὰ τηλικαῦτα καὶ τὰ τοιαῦτα
οἷα μηδ᾽ ἂν εἷς· ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντα γὰρ
τὰ εἰωθότα ὥσπερ ἀρρωστήματα φυλάττονται· καὶ τὰ
ἀδικήματα· ὃ δὲ μηδέπω ἠρρώστηκεν, οὐδεὶς εὐλα-
βεῖται· καὶ οἷς μηδεὶς ἐχθρὸς ἢ πολλοί· οἱ μὲν γὰρ οἴονται
λήσειν διὰ τὸ μὴ φυλάττεσθαι· οἱ δὲ λανθάνουσι διὰ τὸ
μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι φυλαττομένοις· καὶ διὰ τὸ
ἀπολογίαν ἔχειν ὅτι οὐκ ἂν ἐπεχείρησαν· καὶ οἷς ὑπάρχει
κρύψις· ἢ τρόπος· ἢ τόπος· ἢ διάθεσις εὔπορος·
καὶ ὅσοις μὴ λαθοῦσιν, ἔστι διῶσις δίκης· ἢ ἀνα-
βολὴ χρόνου· ἢ διαφθοραὶ κριτῶν· καὶ οἷς ἐὰν γένηται
ζημία, ἔστι διῶσις τῆς ἐκτίσεως· ἢ ἀναβολὴ χρόνιος·
ἢ δι᾽ ἀπορίαν μηδὲν ἕξει ὅτι ἀπολέσει· καὶ οἷς τὰ μὲν
κέρδη φανερὰ ἢ μεγάλα ἢ ἐγγύς· αἱ δὲ ζημίαι μι-
κραὶ ἢ ἀφανεῖς ἢ πόρρω· καὶ ὧν μὴ ἔστι τιμωρία
ἴση τῇ ὠφελείᾳ· οἷον δοκεῖ ἡ τυραννίς· καὶ ὅσοις
τὰ μὲν ἀδικήματα λήμματα· αἱ δὲ ζημίαι ὀνείδη
μόνον· καὶ οἷς τοὐναντίον· τὰ μὲν ἀδικήματα εἰς
ἔπαινόν τινα· οἷον εἰ συνέβη ἅμα τιμωρήσασθαι
ὑπὲρ πατρὸς ἢ μητρὸς ὥσπερ Ζήνωνι· αἱ δὲ ζημίαι
εἰς χρήματα ἢ φυγὴν ἢ τοιοῦτόν τι· δι᾽ ἀμφότερα γὰρ
ἀδικοῦσι καὶ ἀμφοτέρως ἔχοντες· πλὴν οὐχ οἱ
αὐτοὶ ἀλλ᾽ οἱ ἐναντίοι τοῖς ἤθεσι· καὶ οἱ πολλάκις
ἢ λεληθότες ἢ μὴ ἐζημιωμένοι· καὶ οἱ πολλάκις
ἀποτετυχηκότες· εἰσὶ γάρ τινες καὶ ἐν τοῖς τοιούτοις
ὥσπερ ἐν τοῖς πολεμικοῖς. οἷον ἀναμαχέσασθαι· καὶ οἷς
ἂν παραχρῆμα ᾖ τὸ ἡδύ· τὸ δὲ λυπηρὸν ὕστερον
ἢ τὸ κέρδος, ἡ δὲ ζημία ὕστερον· οἱ γὰρ ἀκρατεῖς,

http://digital.slub-dresden.de/ppn346251060/52